μηδὲ κατοικεῖν. 7εἶπα Πλὴν φοβεῖσθέ με καὶ δέξασθε παιδείαν, καὶ 7
οὐ μὴ ἐξολεθρευθῆτε ἐξ ὀφθαλμῶν αὐτῆς, πάντα ὅσα ἐξεδίκησα
ἐπ᾿ αὐτήν· ἑτοιμάζου ὄρθρισον, διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν.
8Διὰ τοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς 8
μου εἰς μαρτύριον· διότι τὸ κρίμα μου εἰς συναγωγὰς ἐθνῶν τοῦ
εἰσδέξασθαι βασιλεῖς τοῦ ἐκχέαι ἐπ᾿ αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ
μου· διότι ἐν πυρὶ ζήλους μου καταναλωθήσεται πᾶσα ἡ γῆ. 9ὅτι 9
τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς τοῦ ἐπικα-
λεῖσθαι πάντας τὸ ὄνομα κυρίου τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν
ἕνα. 10ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσιν θυσίας μοι. 11ἐν 10 11
τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμά-
των σου, ὧν ἠσέβησας εἰς ἐμέ· ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ
φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκέτι μὴ προσθῇς τοῦ μεγα-
λαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. 12καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν 12
πραῢν καὶ ταπεινόν, καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου
13οἱ κατάλοιποι τοῦ Ισραηλ καὶ οὐ ποιήσουσιν ἀδικίαν καὶ οὐ λαλή- 13
σουσιν μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα
δολία, διότι αὐτοὶ νεμήσονται καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται
ὁ ἐκφοβῶν αὐτούς.
14Χαῖρε σφόδρα, θύγατερ Σιων, κήρυσσε, θύγατερ Ιερουσαλημ· 14
εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ιε-
ρουσαλημ. 15περιεῖλεν κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ 15
χειρὸς ἐχθρῶν σου· βασιλεὺς Ισραηλ κύριος ἐν μέσῳ σου, οὐκ
ὄψῃ κακὰ οὐκέτι. 16ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ Ιερουσαλημ 16
Θάρσει, Σιων, μὴ παρείσθωσαν αἱ χεῖρές σου· 17κύριος ὁ θεός 17
σου ἐν σοί, δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην καὶ και-
νιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει
ὡς ἐν ἡμέρᾳ ἑορτῆς. 18καὶ συνάξω τοὺς συντετριμμένους· οὐαί, 18
τίς ἔλαβεν ἐπ᾿ αὐτὴν ὀνειδισμόν; 19ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκεν 19

7 εξολε(uel ο)θρευθη $S^{c}$*C*† | διεφθ.] δι > BS*† || 8 επ αυτους] + την οργην μου $S^{c}$*LC* | διοτι ult.] οτι A† | πυρι] + του $AB^{c}$ | ζηλους: sic B*V† hoc loco, BSAVW*C*pau. in 1 18; rel. ambis locis ζηλου || 9 γενεαν αυτης BSQW*C*] γενεας αυτων A*L*; + εκλεκτην $W^{mg}$†: cf. 𝔐 || 10 αιθιοπιας $AQW^{c}$] + προσδεξομαι εν διεσπαρμενοις μου BSV† et $Sy^{mg}$ sub ※ nec non omisso μου *C*†; + προσδεξομαι τους ικετευοντας με των διεσπαρμενων *L*pau. (etiam $S^{c}$ secundum Tischendorfii coniecturam); + δεομενοι μου εν τοις διεσκορπισμενοις W*†: cf. 18 || 12 πραυν] πολυν A† | κυριου] pr. του A† || 13 και ου $2^{o}$] ουδε μη AQ | λαλησ.] + ψευδεις W† | τω > A || 14 σφοδρα > BSAQ (non W, qui χαιρε σφοδρα bis scripsit) | κατατερπου] κατα > S*V*$C^{p}$† || 15 σε] + κυριος VW*L*† | βασιλευς ισραηλ BS*Q*C*] βασιλευσει $AS^{c}$W*L* | κυριος ult.] pr. ο AQ | ουκ] pr. και A† || 17 δυνατος] pr. ο BS*† | αγαπ.] ευφροσυνη S*† | ευφρανθησεται] ευφραν⟨ε⟩ι σε S*† | σε ult.] σοι A*L* || 18 συντετρ.] διεσκορπισμενους W†: cf. 10; + σου AQ | επ αυτην/ονειδ.] tr. $AQS^{c}$